῾Ο ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει.

B 93

῞Ηλιος γὰρ οὐχ ὑπερβήσεται μέτρα· εἰ δὲ μή, ᾿Ερινύες μιν Δίκης ἐπίκουροι ἐξευρήσουσιν.

B 94

᾿Αμαθίην γὰρ ἄμεινον κρύπτειν, ἔργον δὲ ἐν ἀνέσει καὶ παρ᾿ οἶνον. B 95

Νέκυες γὰρ κοπρίων ἐκβλητότεροι.

B 96

Κύνες γὰρ καὶ βαΰζουσιν ὧν ἂν μὴ γινώσκωσι.

B 97

Αἱ ψυχαὶ ὀσμῶνται καθ᾿ ῞Αιδην.

B 98

Εἰ μὴ ἥλιος ἦν, ἕνεκα τῶν ἄλλων ἄστρων εὐφρόνη ἂν ἦν. B 99

. . . πάντων, ἃ φέρουσιν ὧραι. B 100

᾿Εδιζησάμην ἐμεωυτόν. B 101